ἔγημεν δούλην τοῦ οἰκείου ἀδελφοῦ καὶ ἐποίησεν ἐξ αὐτῆς νόθον υἱὸν τὸν Ἀρχέλαον· ἐκ δὲ νομίμης ἄλλης γυναικὸς ἄλλο παιδίον, οὗ τὸ ὄνομα οὐ φέρεται· ὁ δὲ Ἀλκέτης ἐποίησεν υἱὸν Ἀλέξανδρον· ὁ τοίνυν Περδίκκας εἶχε τὴν τυραννίδα· τεθνηκότος δὲ ὁ Ἀρχέλαος, ὁ ἐκ δούλης ὢν τοῦ θείου αὐτοῦ, ἀντὶ τοῦ παραδοῦναι τὴν ἀρχὴν τῷ δεσπότῃ τε καὶ θείῳ καλέσας εἰς δεῖπνον καὶ μεθύσας ἐφόνευσε τόν τε θεῖον αὐτοῦ καὶ τὸν υἱὸν αὐτοῦ τὸν Ἀλέξανδρον, θεῶν ὄπιν οὐκ ἀλέγων, λαβὼν δὲ καὶ τὸν γνήσιον τοῦ πατρὸς παῖδα ἑπταέτη εἰς φρέαρ ἔρριψεν καὶ εἶπεν τῇ Κλεοπάτρᾳ, ὅτι χῆν αὐτὸν ἔβαλεν κάτω. τοιαῦτα οὖν λέγων περὶ αὐτοῦ ὁ Πῶλος κατ' εἰρωνείαν φησίν, ὅτι ἄθλιός ἐστιν οὗτος κατά σε καὶ μὴν εὐδαίμων τοσούτων ἀξιωθείς. ἰστέον δέ, ὅτι εἰ καὶ ἦν πάντα κατὰ τάξιν ποιήσας καὶ μηδένα φονεύσας ὁ Ἀρχέλαος ἦν δίκαιος, ἐπειδὴ ὠφείλετο αὐτῷ ταῦτα ποιῆσαι.

p. 470b. *τίνα ὅρον ὁρίζῃ.*

4 οὐχ ὁρισμὸν λέγει ἀλλὰ περιγραφὴν καὶ διορισμόν.

p. 470b. *σὺ μὲν οὖν, ὦ Σώκρατες.*

5 μὴ δυνάμενος ἀποκριθῆναι ἀξιοῖ τὸν Σωκράτην ἀποκριθῆναι.

p. 470c. *χαλεπόν τέ σε ἐλέγξαι.*

6 κατ' εἰρωνείαν· φησὶ γάρ, ὅτι ῥᾷστα καὶ παῖς σε ἐλέξει κακῶς λέγοντα· οὐ γὰρ τὸ δίκαιον ἀλλὰ τὸ ἄδικον εὐδαίμονα ποιεῖ. ὁ δὲ Σωκράτης οὐκ ὀργίζεται, ἀλλὰ ἦθος ἔχων φιλόσοφον λέγει, ὅτι καὶ παιδὶ ἐλέγχοντι χάριν ἔχω καὶ εὐεργέτην ἀποκαλῶ τὸν ἐπιστρέφοντα.

p. 470c. *καὶ ἀπαλλάξῃς φλυαρίας.*

7 διὰ τί εἶπεν φλυαρίας; καὶ μὴν οὐκ εἶπεν πολλά· φαμέν, ὅτι φλυαρίαν καλεῖ πᾶν τὸ περιττόν, ὅ τί ποτε ᾖ· οὕτω καὶ

---

8 cf. *Π* 388

---

27 mg. ὅτι φλυαρία πᾶν τὸ περιττὸν παρὰ Πλάτωνι

---

7 αὐτοῦ supr. lin. add. **M**[c] **21** τε **M** γε codd. Plat.